τῷ θεῷ. 3καὶ σίδηρον πολὺν εἰς τοὺς ἥλους τῶν θυρωμάτων 3
καὶ τῶν πυλῶν καὶ τοὺς στροφεῖς ἡτοίμασεν Δαυιδ καὶ χαλκὸν
εἰς πλῆθος, οὐκ ἦν σταθμός· 4καὶ ξύλα κέδρινα, οὐκ ἦν ἀριθμός, 4
ὅτι ἐφέροσαν οἱ Σιδώνιοι καὶ οἱ Τύριοι ξύλα κέδρινα εἰς πλῆθος
τῷ Δαυιδ. 5καὶ εἶπεν Δαυιδ Σαλωμων ὁ υἱός μου παιδάριον ἁπα- 5
λόν, καὶ ὁ οἶκος τοῦ οἰκοδομῆσαι τῷ κυρίῳ εἰς μεγαλωσύνην ἄνω,
εἰς ὄνομα καὶ εἰς δόξαν εἰς πᾶσαν τὴν γῆν ἑτοιμάσω αὐτῷ· καὶ
ἡτοίμασεν Δαυιδ εἰς πλῆθος ἔμπροσθεν τῆς τελευτῆς αὐτοῦ. —
6καὶ ἐκάλεσεν Σαλωμων τὸν υἱὸν αὐτοῦ καὶ ἐνετείλατο αὐτῷ τοῦ 6
οἰκοδομῆσαι τὸν οἶκον τῷ κυρίῳ θεῷ Ισραηλ. 7καὶ εἶπεν Δαυιδ 7
Σαλωμων Τέκνον, ἐμοὶ ἐγένετο ἐπὶ ψυχῇ τοῦ οἰκοδομῆσαι οἶκον
τῷ ὀνόματι κυρίου θεοῦ. 8καὶ ἐγένετο ἐπ᾽ ἐμοὶ λόγος κυρίου λέγων 8
Αἷμα εἰς πλῆθος ἐξέχεας καὶ πολέμους μεγάλους ἐποίησας· οὐκ
οἰκοδομήσεις οἶκον τῷ ὀνόματί μου, ὅτι αἵματα πολλὰ ἐξέχεας ἐπὶ
τῆς γῆς ἐναντίον μου. 9ἰδοὺ υἱὸς τίκτεταί σοι, οὗτος ἔσται ἀνὴρ 9
ἀναπαύσεως, καὶ ἀναπαύσω αὐτὸν ἀπὸ πάντων τῶν ἐχθρῶν κυ-
κλόθεν, ὅτι Σαλωμων ὄνομα αὐτῷ, καὶ εἰρήνην καὶ ἡσυχίαν δώσω
ἐπὶ Ισραηλ ἐν ταῖς ἡμέραις αὐτοῦ. 10οὗτος οἰκοδομήσει οἶκον τῷ 10
ὀνόματί μου, καὶ οὗτος ἔσται μοι εἰς υἱὸν κἀγὼ αὐτῷ εἰς πατέρα,
καὶ ἀνορθώσω θρόνον βασιλείας αὐτοῦ ἐν Ισραηλ ἕως αἰῶνος.
11καὶ νῦν, υἱέ μου, ἔσται μετὰ σοῦ κύριος, καὶ εὐοδώσει καὶ οἰκο- 11
δομήσεις οἶκον τῷ κυρίῳ θεῷ σου, ὡς ἐλάλησεν περὶ σοῦ. 12ἀλλ᾽ 12
ἢ δῴη σοι σοφίαν καὶ σύνεσιν κύριος καὶ κατισχῦσαι σε ἐπὶ
Ισραηλ καὶ τοῦ φυλάσσεσθαι καὶ τοῦ ποιεῖν τὸν νόμον κυρίου τοῦ
θεοῦ σου. 13τότε εὐοδώσει, ἐὰν φυλάξῃς τοῦ ποιεῖν τὰ προστάγ- 13
ματα καὶ τὰ κρίματα, ἃ ἐνετείλατο κύριος τῷ Μωυσῇ ἐπὶ Ισραηλ·
ἀνδρίζου καὶ ἴσχυε, μὴ φοβοῦ μηδὲ πτοηθῇς. 14καὶ ἰδοὺ ἐγὼ κατὰ 14
τὴν πτωχείαν μου ἡτοίμασα εἰς οἶκον κυρίου χρυσίου ταλάντων
ἑκατὸν χιλιάδας καὶ ἀργυρίου ταλάντων χιλίας χιλιάδας καὶ χαλκὸν
καὶ σίδηρον, οὗ οὐκ ἔστιν σταθμός, ὅτι εἰς πλῆθός ἐστιν· καὶ ξύλα
καὶ λίθους ἡτοίμασα, καὶ πρὸς ταῦτα πρόσθες. 15καὶ μετὰ σοῦ εἰς 15
πλῆθος ποιούντων ἔργα τεχνῖται καὶ οἰκοδόμοι λίθων καὶ τέκτονες
ξύλων καὶ πᾶς σοφὸς ἐν παντὶ ἔργῳ. 16ἐν χρυσίῳ, ἐν ἀργυρίῳ, 16
ἐν χαλκῷ καὶ ἐν σιδήρῳ οὐκ ἔστιν ἀριθμός. ἀνάστηθι καὶ ποίει,
καὶ κύριος μετὰ σοῦ. — 17καὶ ἐνετείλατο Δαυιδ τοῖς πᾶσιν ἄρ- 17
χουσιν Ισραηλ ἀντιλαβέσθαι τῷ Σαλωμων υἱῷ αὐτοῦ 18Οὐχὶ κύριος 18
μεθ᾽ ὑμῶν; καὶ ἀνέπαυσεν ὑμᾶς κυκλόθεν, ὅτι ἔδωκεν ἐν χερσὶν

4 εφορασαν A† || 6 κυριω θεω] ονοματι κυριου θεου A || 8 επ εμοι V] επ εμε A, μοι B† | επι την γην B† || 9 εχθρων] + αυτου LA^c || 10 αυτω] + εσομαι A || 11 μου > B || 13 ευοδωθησει A, sed in 11 etiam A ευοδωσει || 15 εις L†] pr. προσθες rel.: ex 14 repet. || 16 εν 4° > AL† || 17 πασιν pl.] παισιν BA: cf. 20 3 || 18 χερσιν B†] χειρι υμων A, χειρι μου L†